158 *δἵστεύων* (sic) *R*, *ὀπιπτεύων a.* »Sed fortasse locns nondum est integer, inprimis videtur aliquid deesse post *καλύπτει.* Caeterum Solem puto *ἐλατῆρα* dici, deinde v. s. *νεύμασιν ἀστρ.* idem est, ac si *ὄμμασιν* scripsisset.« Graefe. — [*ἐλατήρ* vocem de Sole usurpavit Nonnus 12, 8; 38, 130]. — **159** Cfr. **νεύμασιν ἀτρέπτοισι* 5, 327 et **νεύμασιν ἀτρέπτοισιν* 36, 418, unde traditum *ἀστρέπτοισιν* mutavi; etiam apud Tryphiodorum v. 116 recte Koechly ex optimo codice *ὄμματος ἀτρέπτοιο* (vulgo *ἀστρέπτοιω*) edidit. — **160** *ἐπιφύτλην A.* — [**μετὰ βροτέην τάχα φύτλην* 16, 221; **βροτέης ἀπὸ φύτλης* 47, 692]. — **161** *ἐπέοικεν A.* — **163** *κάμνων* (πτων) *Aa.* — **164** *ἐπήορον G.* — »Apte ad hunc versum margo apud Rutgersium habet: *ὁ ἀντίχειρ*, quod ad vocem *ἰσοπαλὴς δάκτυλος* pertinet.« Graefe. In *A* nota marginalis versui sequeuti adscripta est. — **165** *καλεουσιν A*, *λαλέουσιν R.* — *αλλων R*, tacite corr. Graefe. — **166** *τετράδι Aa.* — *ἑλίξας A.* — **167** *βάλλων A.* — **168** *εἰ, σθένος A*, *εἰς σθένος* etiam *a*, *ἐς σθένος R.* — [**ὑπέρτερον* 2, 491]. — **169** *κοσμῳ A.* — **172** »Fort. *κόσμῳ*, ut dativus a participio pendeat, etsi hoc magis Atlanti quam Aeoni conveniret.« Graefe. — [**αὐχένα* 7, 262; 41, 29]. — **173** *φάρος A* et in marg. ad hauc vocem: *ὁ ἔχει επι τῇ αριστερᾶ.* — »Ad v. 173. in marg. Cod. legitur: *ὃ ἔχει περὶ τῇ ἀριστερᾷ*, quod ad *φᾶρος* referendum, cf. 162—64.« Graefe. — **174** *ἀνείης A.* — [**βαρύμοχθον* 42, 160].

σκαιὸν κέντρον ἐὸν καὶ χάρχαρον εἰς φρένας ἕρπει.
τοὔνεκα φῶτας ἔοικεν ἐς οὐρανὸν ἐλπίδι βαίνειν,
καὶ θεὸν ὑψιμέδοντα γαλήνιον εἰς νόον ἕλκειν,
ὄφρα βαρυτλήτων ἀχέων ξύσαντες ἀνάγκην
πευκεδανοῦ βιότοιο παραπλώωσι κελεύθους.
Καὶ βρέφος Ἕσπερον εἶδον, ὃς ἄγγελός ἐστιν ὁμίχλης
ἠελίου δύνοντος ἐπὶ κλίσιν ἠριγενείης.
αὐτὰρ ὃ μαρμαίρων ἀκρέσπερος ἔρχεται ἀστήρ,
οὐρανὸν αἰγλήεντα διαυγέα πρῶτα χαράσσων·
νῦν δὲ μεταστήσας δέμας αἰόλον ἠρέμα δύνει
δόχμιος ὀρθοκάρηνος ὀλισθαίνων ἀπ' Ὀλύμπου,
λαμπάδα νυκτιχόρευτον ἐπικλίνων ὑπὸ γαῖαν.
Καὶ δρόμος ἀζυλέης ἑπτάστερός ἐστιν ἁμάξης,
ἥτε πόλον κάμπτουσα καὶ ἄξονα, γείτονα πόντου,
τὴν αὐτὴν ἐπὶ νύσσαν ἔχει στροφάλιγγα κελεύθου
ἄβροχος ἀστυφέλικτον ἑλισσομένη περὶ κέντρον.
Ἀλλὰ παλαιγενέων ἐγκύμονα βίβλον ἀφάσσων,
ἐν φρενὶ μυριόκυκλον ἀνιχνεύων ὁδὸν ἄστρων,
ἀρκτῴης ἐνόησα πολύστροφον ὁλκὸν ἀπήνης,

175 *ἔην A.* — »Pro *ἐόν* legitur vulgo *ἔην*, impedita constructione. Emendationem praeoccupavit Rutgers.« Graefe. — *ἐς A.* — **176** *τούνεκα AR*, tacite corr. Graefe. — *ἔοικεν ἐσουρανον A.* — **177** *θεὸν a* et ante corr. *A.* — *ἐς νόον Aa.* — [*ὑψιμέδων θεός Γ* 143, 165; *Δ* 115; *N* 14]. — **178** *ἀχέωσ A, ἀχέων a.* — [*βαρυτλήτων δὲ γυναικῶν* 24, 190; *βαρυτλήτων ὀδυνάων* Leont. Schol. Ep. Anth Plan. 245. — **ἀνάγκην* 15, 272; 40, 164]. — Ad v. 180 margo apud Rutgersium: *περὶ ἑσπέρας*, in *A*: *περὶ τῆς ἑσπέρας* et margo interior *εσπερας.* — *ὀμίχλης* ut videtur *A.* — **181** *ἐπίκλισιν A.* — **182** *ὁ R.* — **183** *αιγληεντα A.* — **184** *μετὰ στήσας Aa.* — *αἴολον R*, tacite corr. Graefe. — [**δέμας αἰόλον* 5, 494; 25, 405]. — **185** *ἀπολύμπου A, ἀπ'ὀλύμπου G.* — [**δόχμιος* 6, 242. — *ἀπ' Οὐλύμποιο* 35, 227]. — **186** *νυκτιχορευτὸν R.* — [**λαμπάδα νυκτιχόρευτον* 12, 391]. — Ad v. 187 *AR* in marg.: *περὶ τῆς (περι της* A) *ἄρκτου.* — *ἑπτάστερος ἐστὶν A.* — **188** *ἦτε A.* — [**παρὰ γείτονι πόντῳ* 17, 392]. — **189** Pro *ἐπὶ* Graefe tacite *περὶ* edidit, fort. recte; cfr. Dion. 1, 497 *τὴν αὐτὴν περὶ νύσσαν ἄγειν.* — **190** *αστυφελικτον ἑλισσ. A.* — [*ἄβροχον ὁλκὸν ἁμάξης* 23, 295]. — **191** [**παλαιγενέων μερόπων* 11, 369. — **ἀφάσσων* 4, 438; 7, 129; 8, 218; 10, 61; 15, 233]. — **192** *φρεσὶ G*, errore, ut videtur. — **193** *ἀρκτώης AR*, tacite corr. Graefe.

καὶ πόλον ἀστροχίτωνα καὶ ἀπλανέας καὶ ἀλήτας·
ὅττι φαεινομένους φύσις ἄσπορος ἄμμιγα ταύροις
ἀστέρας εἰς ἓν ἄγειρεν ἀλήμονας εἰς ῥάχιν ἄρκτου,
ἀπλανέος στήσασα Βορειάδος ἐγγύθι νύσσης.
πρῶτος Μοῦσαν ἔδειξε καὶ Ἑρμάωνος ἀκούει,
δεύτερος ἀρσενόθηλυς ἀγαλλομένης Ἀφροδίτης,
καὶ τρίτος Ἠέλιος, φαεσφόρος Ἠριγενείης,
τέτρατος αἰολόβουλος ἔην Κρόνος, ἠρέμα φαίνων,
πέμπτος Ζηνὸς ἔλαμψε καὶ ἀντία πατρὸς ὁδεύει,
ἕκτος χιονέης διχομήνιδός ἐστι Σελήνης,
ἕβδομος ἀστερόπυρσος Ἄρης δορίτολμος ἐτύχθη.
Ἀλλὰ φάος Φαέθοντος ἀπαυγάζουσα Σελήνη
ἀρφυρέη λάμπουσα χαράσσεται· ἐν παλάμῃ δὲ
θῆλυν δίσκον ἔχουσα κατάντιον ἄρσενος αἴγλης
μαρμαρυγὴν ἤπραξεν· ἀπ' αὐτογόνου δὲ λοχείης

194 *ἀλῆτας Aa.* — »v. 194. vulgo legitur ante versum 193. Sed quia a Septemtrionibus ad Planetas transit, hic versus postponendus erat.« Graefe. — [*Διόνυσος.. ἀστροχίτων* 40, 413; **εἴρετο δ' ἀστροχίτωνα* 40, 422. — *ἀπλανέων δὲ φάλαγγα καὶ ἀντιθέοντας ἀλήτας* 1, 498]. — **195** *παύροις Aa R.* — »*ἄμμιγα παύροις* vulgo sine sensu; sub *ταύροις* intelligo septemtriones in curru coelesti. Sed alius f. scripsisset *παύρους* sc. *ἀστέρας* de ipsis planetis.« Graefe. — **196** *ἐς ῥάχιν AR*, tacite corr. Graefe. — [**εἰς ῥάχιν ὕλης* 42, 131]. — **197** *ἀπλανέας AR.* — »*ἀπλανίας* [sic] vulgo contra sensum; sed fortasse comma non tam ante hunc genitivum, quam post illum ponendum.« Graefe. — [*Βορειάδος ὑψιπόροιο ἐγγύθι νύσσης* 38, 406; cfr. etiam 43, 271]. — **198** Planetarum apud Nonnum enumerationem lege apud Ludwichium l. l. p. 91 sqq. — Versibus inde a v. 198 usque ad v. 204 in A libri margine litteras *α β γ δ ε ζ* singulas singulis adscriptas esse notavi. — *ἔδειξεν Aa.* — **200** *φαεσφόρος R.* — **201** [**ἠρέμα βαίνων* 37, 662]. — **202** *ὁδεύων R.* — »*ὁδεύων* vulgo; nostrum dedit Cod. Sed praestitisset fortasse Rutgersii coniectura: *κατάντια π. ὁδεύων*.« Graefe. Sed cfr. v. 198. — **203** *διχομήνιδος ἐστὶ Aa.* — [*χιονέης . . . Σελήνης* 22, 158; *διχόμηνις (Σελήνη)* 4, 281]. — Ad v. **204** margo in A: *περι τῆς σελήνης*, in R: *περὶ σελήνης.* — *ἀπ' αὐγάζουσα A.* — **206** *ἀργεννὴ* codd. et edd. — »Pro *ἀργεννή*, ad evitandos spondeos, volebat *ἀργυφέη* Gerhard. Lectt. Apoll. p. 201. sine necessitate.« Graefe. Tu confer locos a me in Indice Verborum s v. *ἀργυφέη* laudatos. — **207** [**καταντίον* 2, 385]. — **208** *δε A.* — [**μαρμαρυγήν* 40, 355; 414. — *αὐτογόνῳ σπινθῆρι λοχεύετο δουράτεον πῦρ* 23, 258].

πλησιφαὴς ἥβησεν ἐϋτροχάλοισι προσώποις.
καὶ Φαέθων μαίωσε, καὶ εἰς διάμετρον ὁδεύων,
Μοιράων ἐνόησε ταλαντεύουσαν ἀνάγκην,
ἐκ δεκάτης δρόμων τετελεσμένον αὐχένα πέμπτης,
καὶ νυχίης ἔπλησεν ἀμήτορος ὄμμα Σελήνης.
ἡ δὲ τιταινομένη, τροχαλὴν σπεύδουσα πορείην,
ζώνης κυρτὰ μέτωπα μετῄϊε, γείτονα γαίης.
καὶ δρόμον ἰσοκέλευθον ὀπιπεύουσα τοκῆος,
παρθένος ἀντιπρόσωπος ἐλαύνεται, οὐδ' ἀπολήγει,
λοξὰ παραΐσσουσα· φιλαγρύπνοιο δὲ κούρης
ὠκυτέρῃ μάστιγι τινάσσεται ὁλκὸς ἀπήνης.
ἀλλ' ὅσον ἐγγὺς ἄνασσα παρ' ἴχνια πατρὸς ὁδεύει,
τοσσάτιον μινύθουσα καλύπτεται· ὡς δ' ἀποβαίνει,
δίσκον ἀποστήσασα σέλας κατὰ βαιὸν ἀέξει.
ὡς δὲ τανυομένης ἑλικώπιδος αἰθέρι Μήνης,
φᾶρος ἔην ἐπίκυρτον ἐπὶ πλοκάμοις, ἐπὶ κόρσῃ.
Καὶ χρόα κουφίζοντο γαληνιόωντες Ἀῆται
τέσσαρες, ἀσταθέεσσιν ὁμοκλήσαντες ἀέλλαις,
ταρσὰ ποδῶν πτερόεντα μετοχμάζοντες ὀπίσσω,
καὶ κεφαλὴν πτερόεσσαν ἀνῃώρησαν ἀπειλῇ,

209 *ἐυτροχάλοισι A.* — 211 *ἐνόησεὐ A, ἐνόησεν a.* — 213 [*°καὶ νύχιοι λαμπτῆρες ἀκοιμήτοιο Σελήνης* 2, 189. — *°ἀμήτορος εἰκόνα μήνης* 40, 375. — *°ὄμμα Σελήνης* 32, 95]. — 214 *ἡ δὲ A, Ἡ δὲ R,* tacite corr. Graefe. — *πιαινομένη* codd. et edd., sed *η δὲ τιταινομένη* habet in marg. *A, ἥδε τιταινομένη a.* Cfr. Indicem Verborum s. v. *τιταίνω.* — 216 *ἰσοκελευθον A.* — 217 *ἀπὸ λήγει A.* — [*οὐδ' ἀπολήγει* Hom. *P* 565]. — 218 *παράϊσσουσα A.* — [*°λοξά* 48, 341. — *φιλάγρυπνος* 14, 291; 33, 274; 34, 122 etc.]. — 219 *μάστιγγι Aa.* — *ἀπήνη* ex *ἀπηνὴς A.* — 220 *παρ ἴχνια A.* — 221 *τοσσατίων Aa* — *ἀπὸ βαίνει A.* — 222 *αποστήσασα A.* — *καταβαιὸν A.* — »Fort. *δίφρον ἀποστήσασα* scripsit. v. seq suspiceris *τιταινομένης*, vel *φαεινομένης*. Sed cf. v. 214. 320.« Graefe. — 224 *φαρον A.* — *ἔην* ex *ἐήν A.* — *ἐπι A.* — *πλοκάμους AR, πλοκάμοις G* ex *a.* — *ἐπὶ κόρσην Aa R.* — »Caeterum illud *φᾶρος ἐπίκυρτον* respicit v. 18. *λοξὰ παραΐσσουσα.*« Graefe. — In *A* novum comma a v 223, non a v. 225 incipit. — 225 *ἄῆται A, ἀῆται a.* — *AR* in marg.: *περὶ τῶν τεσσάρων ἀνέμων, καὶ τῶν ἵππων αὐτῶν.* — 227 *ὀπίσω G.* — [*°μετοχμάζων δὲ γυναῖκα* 1, 48]. — 228 *ἀνηώρησαν Aa, ἀνήρησαν R, ἀνηέρταζεν* conicitur apud Rutgersium ad calcem carminis.

Εὖρος ὁμοῦ Ζεφύρῳ, Βορέης, Νότος, ἔμμοροι αὔρης,
ἀφ' ἀνασειράζοντες ἀγήνορας ἄρσενας ἵππους,
φαιδρὰ φαληριόωντας ὅλην χιονώδεα χαίτην.
ὡς δέ τις ἱππεύων τετράζυγον ἄντυγα δίφρου,
ἀμφιθέει χαμπτῆρα διάσσυτος· ἐξαπίνης δὲ
μάρψας ἡνία, θῆχεν ἐς ἰσχία καὶ μέσα νώτων,
καὶ σθένος εἰλίσσων πεφορημένος αὖτις ὀπίσσω
κλινομένων μελέων ἐβιάζετο θυιάδας ἵππους,
καὶ πολὺς ὀκλάζων ἐριαύχενας εἴρυσε πώλους·
οἱ δὲ θυελλήεσσαν ἐπιστήσαντες ἀνάγκην
ἱστάμενοι σκιρτῶσι μεμηνότες· ἔξοχα δ' ἄλλων
δεξιὸς ἀσθμαίνων καὶ ἀριστερὸς ὠκέϊ δίνῃ
ἀμφότεροι θρώσκουσι παρηορίῃσι δεθέντες.
τοῖοι νῦν τελέθουσιν ἁμιλλητῆρες ἀέλλης
ἄζυγες ἀσπαίροντες ἐπειγομένῃσι κελεύθοις
ἄπνοον ἀσθμαίνοντες· ἀελλήεντι δὲ ταρσῷ
κινύμενοι μίμνουσι, καὶ ὁ δρόμος ἵσταται ἕρπων
ψευδαλέον κίνημα νόθοις ποσὶν ὄρθια τείνων.
Καὶ ταναὸς Βορέης μυχήτορα κόχλον ἀείρων

229 *εὖρος ομοῦ A.* — *βορεης A.* — *ἄμμοροι Aa R.* — **230** *ἄψ' A, ἀψ' R.* — *ἀνασειράζοντας Aa.* — [*ἂψ δ' ἀνασειράζοντες* 38, 242]. — **232** [*τετράζυγι δίφρῳ* 2, 422; 6, 233. — **ἄντυγι δίφρου* 14, 269]. — **233** »Suspectum *διάσσυτος*« Graefe. Nec *διάσσυτος*, nec *μετάσσυτος* quod alio loco usurpavit Ioannes Gazaeus, apud Nonnum legitur. — **234** *ἐσϊσχία A.* — **235** *ειλίσσων A.* — *ὀπίσω G* — **236** *θειάδας* (υ supra ει) *Aa, θυάδας R.* — [*δρόμος ἵππων ... μάστιγι βιάζεται* 37, 589]. — **238** *οἱ AR,* tacite corr. Graefe. — [*πρηῦνων ἀνέμοιο θυελλήεσσαν ἀνάγκην* 37, 189]. — **240** *δίνη A.* — **241** *παρηορίησι A, παρῃορίῃσι G.* — **242** *τελέθουσι G* errore. — **243** *ἐπειγομένοισι* (η supra οι) *Aa, ἐπειγομένοισι R.* — **244** *ἀέλλήεντι R,* tacite corr. Graefe. — *δε A.* — [**ἀελλήεντι δὲ ῥόμβῳ* 2, 190]. — **246** »Malis fort. *θοοῖς πόσιν* [sic]; sed *νόθοις* dixit more Nonni, de pedibus nunc non currentibus, qui sic *πόδες ἄποδες* esse videntur.« Graefe. — [**ψευδαλέον μίμημα* 42, 129]. — **247** *ΒΟΡΕΗΣ* in marg *R, βορρᾶς περι του βαρρᾶ* (sic) *A* in marg. interiore. — *τάναϊς* (ος supra) *A* in textu, *ταναὸς* in margine, *ταναὸς* etiam *R,* »*ταναὸς Βορ.* vulgo; *ταναις* (αὸ supra) Cod. Sed cf. 256.« Graefe, qui cur traditam scripturam mutaverit e v. 256 non didici. — [*μυχήτορι κόχλῳ* 43, 72].

εἰλιπόρῳ στροφάλιγγι θυελλοτόκοιο πορείης
δεξιτερὴν ἐτίταινε, καὶ ἡνία χαρτερὰ σύρων
ἱπταμένους ἀνέκοψεν ἐπεσσυμένου πόδας ἵππου.
καὶ λοφιὴν κύρτωσε καὶ αὐχενίην τρίχα πῶλος,
δόχμιος ὀκλάζων, βραδυπειθέα γούνατα σύρων·
οὐκ ἐθέλων δ' ἔστηκε, μόγις γόνυ γουνὸς ἀμείβων,
νωθρὰ παραστείχων· Βορέης δ' ὑπεσύρετο σύρων.
Καὶ Ζέφυρος δόχμωσεν ὀπισθοτόνου γένυν ἵππου,
ψυχρὸν ἐφαπλώσας δολιχὸν σθένος· ὑψιτενὴς δὲ
χερσὶ χαλινοφόροισι ταθεὶς ἔσφιγξεν ἱμάντας.
καὶ κεφαλὴν ἔκλινε καὶ αὐχένα πῶλος ἀήτῃ,
λοξὸν ἐπιστρέψας βεβιασμένον ἅρπαγι ῥιπῇ.
Καὶ προτενὲς πάλιν Εὖρος ἀνακρούων θράσος ὁπλῆς
ὠκὺν ἀερσιπόδην ἀνεσείρασε πῶλον ὀρούσας.
Ἀλλὰ Νότος μόχθησε φορεύμενος αἴθοπι κέντρῳ·
καὶ γὰρ ἀγηνορέων τροχαλὸν σκίρτημα τινάξας,
ταρσὸν ὀπισθιδίων σκελέων διδυμάονα πήσσων,
προσθιδίους ὤρθωσεν ἀνυψώσας πόδας ἵππος,
θερμὸν ἀερτάζων δέμας ὄρθιον· ἠερίην δὲ
ἐντροπαλιζομένην μελέων ἀνεσείσατο χαίτην.

248 εἰλιπόρῳ *RG.* — [*θυελλοτόκοιο θαλάσσης 28, 277]. — **249** ἡνία *A.* — **250** ἀνέκοπτεν *R* — ἐπ' ἐσσυμένους *A*, ἐπεσσυμένους *a.* — [*ἱππηδὸν ἐπεσσυμένων 6, 117]. – **251** λοφιὴν codd. et edd. — **252** ὀκλάζων *A.* — [*βραδυπειθέα 35, 354; βραδυπειθέϊ χηλῇ 4, 313; βρ. ῥιπῇ 44, 40; βρ ταρσῷ 18, 89]. — **253** δ' Graefe addidit. — ἔστησε *Aa R.* — μόγις scripsi pro μόλις. — Ad v. **254** margo in *A*: περι ζεφύρου et margo interior: ζεφυρος. — Ad v. 255 margo in *R*: *ΖΕΦΥΡΟΣ.* — **255** [ὀπισθοτόνους 15, 147; 45, 131 semper de manibus]. — **256** ἐφ' ἁπλώσας *A.* — »Fort. δόλιον vel σκολιὸν σθένος.« Graefe. Posterius praeferrem, cfr. v. 266 δέμας ὄρθιον. — ὑψιτενής, sed τ in ras., *A*, ὑψιμενής *a.* — [ὑψιτενής 2, 165; 2, 561; 4, 388 etc.; *ὑψιτενὲς δὲ Σφιγγόμενον δεσμοῖσι μέσον ξύλον ὄρθιον ἔστω 40, 453]. — **257** ἱμάντας *A.* — **258** ἀήτης *Aa R.* — **259** ἐπὶστρεψας *A*, ἐπιστέψας *a.* — Nonnus forma tantum βεβιημένον utitur, cfr. Rigleri Mell. 2, 5. — Ad v. 260 *A* in marg. ext.: περι του ευρου, in marg. int.: ευρος, *R* in marg.: *ΕΥΡΟΣ.* — **260** προτενὴς *AaR.* — εὖρος *A.* — **261** ἀερο†πόδην *a*, male intellecta *A* libri scriptura. — [*καί τις ἀερσιπόδης ἐλέφας 33, 278]. — Ad v. **262** *A* in marg. ext.: περι νότου, in marg. int.: νοτος; *R* in marg.: *ΝΟΤΟΣ.* — **262** νοτος *A.* — Ad vv. **264–267** confer Dionys. 1, 314—318: οἰστρηθεὶς δ' ἀνέπαλτο, καὶ

ἀλλὰ Νότος κοτέων, μεθέπων σφριγόωσαν ἀπειλήν,
ἀμφιλαφὴς ἑκάτερθεν ἀκοστήσαντα χαλέπτων,
μόχθον ἔχων ἀτέλεστον ἀμοχθήτων ἀπὸ γυίων
εὖ διαβὰς σθένος ὦρσε καὶ εἴρυσε πῶλον ἀνάγκῃ.
Καὶ σέβας ἀρχεγόνοιο φαείνεται Ὠκεανοῖο,
ὃς ῥόον αὐτοέλικτον ἀεὶ στεφανηδὸν ἑλίσσων,
δινωτὸν περὶ γαῖαν ἄγει κυκλούμενον ὕδωρ,
καὶ χθονὶ καχλάζων ἀντίστροφον οἶμον ὁδεύει.
καὶ πυρὸς ἠνιοχῆα μεταστείχοντα δοχεύων,
Ἠέλιον σπινθῆρας ἀκοντίζοντα νοήσας
ἀκροφανὴς θάμβησε, καὶ ἰκμαλέης στατὸν ἅλμης
τεμνομένου ῥοθίοιο διασχίζων κενεῶνα,
ἀκροκελαινιόων, ὑψούμενον ἔδρακε φέγγος,
ταῦρον ὁμοῦ καὶ κῆτος ἔχων ἡγήτορας οἴμης·
καὶ δροσερὴν στορέσας λασιότριχα κυκλάδα χαίτην
ἀμφελελιζομένην ὑγρόχροος ὑψόθι νώτου
αὐτοβαφὴς ὑψοῦτο κερασφόρος· ἀσμαράγῳ δὲ
χείλεϊ σιγαλέῳ τανυηχέα πῆχυν ἀείρων,

ὄρθιος ὑψόσε βαίνων Στηρίξας ἀτίνακτον ὀπισθιδίου ποδὸς ὁπλὴν Προσθιδίους προβλῆτας ἐκούφισε γούνατα πάλλων, Καὶ λόφον ᾐώρησεν, ἐπ' ἀμφοτέρων δέ οἱ ὤμων Ἀμφιλαφὴς δεδόνητο παρήορος αὐχένι χαίτη. —

[*προσθιδίους . . . . πόδας* 5, 422]. — **266** *ἀεργάζων* (τ suprascr.) *Aa.* — [**θερμὸν ἀκοντίζοντα* 13, 284]. — **270** *ἀπο A.* — Ad v. 272 margo in *A*: *περι του ωκεανου και των συν αυτω* et *ωκεανος*, margo in *R*: *περὶ ὠκεανοῦ.* — **272** [*ἀρχέγονος δὲ Ὠκεανός* 40, 551]. — **273** *ὡς* et in marg *ὃς Aa.* — [**καὶ στέφος αὐτοέλικτον* 1, 495; *αὐτοέλικτον πηγῆς ὕδωρ E* 23. — **στεφανηδὸν ἑλίξας* 44, 107; *στ. ἑλιξάμενοι* 10, 340]. — **274** *δεινωτὸν Aa R.* — [*τὴν αὐτὴν περὶ νύσσαν ἄγειν κυκλούμενον ὕδωρ* 1, 497. — **κυκλούμενον ὕδωρ* 1, 497; 20, 336. — *δινωτὸν ὕδωρ* apud Nonnum non extat]. — **276** *μετὰ στείχοντα A.* — **277** *ἠέλιον A.* — **278** *ἰκμαλέης R.* — *στατον αλμης A.* — [**ἀκροφανής* 10, 185 etc.]. — **279** [**ἀνασχίσσαι κενεῶνα* 30, 35]. — **280** *ὑψούμενον A.* — [**ἀκροκελαινιόωσα* 18, 156]. — **282** [**ὀφιωδέϊ κυκλάδι χαίτῃ* 2, 613]. — **283** *ἀμφ' ἑλελιζομένην A.* — [**ὑψόθι νώτου* 6, 185; 11, 181]. — **284** [*ξεῖνον ἰδὼν πλωτῆρα κερασφόρον· ἀκροβαφῆ δὲ Ὁλκάδα ταῦρον ἔχουσα* 1, 65, 66]. — *Ἀὐτοβαφῆ . . κύκλα προσώπου* Nonnus habet 30, 123, apud nostrum *ἀκροβαφὴς* malim. — **285** *τανυήχεα R*, tacite corr. Graefe.

πήξας δάκτυλον ἄκρον ἐθέλγετο, θαῦμα κεράσσας.
κεκλιμένος δ' ὁ γέρων ἀντώπιον ὄμμα τανύσσας
εἰσορόων ἀκτῖνας ἐπεστηρίζετο ταύρῳ,
ὑγροπόρου λοφιῆς δεδραγμένος· ἄκρα δὲ χειρὸς
λαιῆς μοῦνον ἔδειξεν· ἀτεκμάρτου δὲ ῥεέθρου
πηδάλιον κούφιζε παρήορον· ἐκ δὲ καρήνου
κυρτωθεὶς ὑπέροπλος ἀνέσσυτο ταῦρος ἀγήνωρ,
ἀενάῳ μυκτῆρι πολυσταγὲς οἶδμα κομίζων,
κρουνηδὸν προχοῆς διδυμάονα ῥοῖζον ἰάλλων,
γαστέρος ἀφράστων ὑδάτων σύριγγας ἀνέλκων·
καὶ πταρμὸν κελάδοντα διαθρώσκοντα τινάξας,
ὀμβρηρὴν πελάγεσσιν ἀνεῤῥοίβδησεν ἐέρσην.
καὶ γραπτὸν πέλε κῆτος· ἀνοστήτου δὲ γενείου
οἶστρον ἀπειλητῆρα χανὼν σπήλυγγος ἐναύλων,
φρικαλέων ὤϊξε σεσηρότα πορθμὸν ὀδόντων,

286 δάκτυλος (ν supra) Aa. — [δάκτυλον ἄκρον 37, 273. — ἐπὶ χθονὶ δάκτυλα πήξας 46, 131]. — 287 In A δὲ supra δ' ὁ scripsit prima manus, num recte? — [*ἀντώπιον ὄμμα τιταίνων 4, 248; 42, 40. — *ὄμμα τανύσσῃ 43, 142]. — 289 λοφίης R, in A ad λοφιῆς corruptelae signum appictum est. — δε A. — [*αὐχενίων πλοκάμων δεδραγμένος 20, 119; *φειδομένων ὀνύχων δεδραγμένος 24, 80. — ὑγροπόρος βοῦς 16, 51. — καὶ ἐγγύθεν ὑγροπόρος βοῦς Κυρτὸν ὑποστορέσας λοφίην ἐπιβήτορι κούρῃ 1, 50, 51]. — 290 μόνον Aa. — ἀτεκμάρτου δὲ ῥεέθρου scripsi pro ἀτεκμάρτοιο δὲ ῥείθρου vel contra v. 314: ἀλλ' ἀπὸ ῥείθρου. — [*ἀνοιγομένου δὲ ῥεέθρου 2, 70]. — 291 παρήορον G tacite. — δε A. — »Verba ἐκ δὲ καρήνου, nescio an sana sint; si sunt, non tam a verbo ἀνέσσυτο pendent, quam a participio κυρτωθείς, ut ταῦρος dicatur κυρτωθεὶς ἐκ καρήνου de curvis cornibus.« Graefe. Verba ἐκ δὲ καρήνου recurrunt v. 149. — [*πηδάλιον κέρας ἔσχε 1, 68]. — 292 κυρ//τωθείς A. — [*ἀνεσσύμενος 42, 441]. — Margo in A: περι ταύρου. — [κρουνηδὸν ἰάλλων 23, 282. — *ἀνεμώδεα ῥοῖζον ἰάλλων 26, 204]. — 295 σήραγγας Aa R. — 296 σπαρμὸν (πτ supra) Aa. — »Mox offendit διαθρώσκοντα, et vereor, ne rarius vocabulum posuerit, διὰ ῥώθωνα τινάξας. Productionem ante ρ Nonnus habet. [Habet, sed non ante vocem ῥώθων, neque habet Io. Gazaeus].« Graefe. — Ad v. 297 A in marg.: περι κήτους. — ἐέρσην R, tacite corr. Graefe — Voce ἀναρροιβδέω Nonnus nusquam utitur, sed habet saepissime ἀπεῤῥοίβδησεν ἰωήν vel φωνήν. — 299 Pro χανὼν (χανόν? et v. 302 στυγέον?) conicio χέων — 300 προθμὸν ὀδόντων A. — [φρικαλέος 9, 42; 37, 389. — *πορθμὸς (ὸν) ἐρώτων 42, 43; 4, 139]

γείτονος ἀσθμαίνοντος ὀπιπεύων βοὸς εἶδος,
ταυρείης στυγέων ταναὴν γλωχῖνα κεραίης.
οὐδὲ βυθῷ κερόεις ἀπανήνατο θάμβος ἀέξειν,
ἀλλὰ μελαινομένης σταθερῆς ἁλὸς ἄκρα χαράξας,
χλυζομένην ἑκάτερθεν ἐν ὕδασι γαστέρα τείνων,
βυσσόθεν ἠέρθη δεδοκημένος εὐφαὲς ὄμμα.
Καὶ πελάγη θαύμαζε· φύλαξ δέ τις Ὠκεανοῖο
Ἀγγελικῆς στρατιῆς πτερόεις ἀνέτειλεν ἀβύσσου,
υἱέος οὐρανίου τεκμήρια χειρὶ κομίζων,
ἀῤῥήτου σοφίης νοερὸν ξύλον ἔμφονος ὄζου.
ἄρτι δὲ κυμαίνοντος ἔχων ῥόον Ὠκεανοῖο,
ὑψιφανής, στέφος ὑγρὸν ἀεὶ χθονὸς ἡνιοχεύων,
χεῖρα παρακρεμάσας ἠσπάζετο φέγγος Ὀλύμπου,
καὶ πτέρυγας συνάειρε μετάρσιος. ἀλλ' ἀπὸ ῥείθρου
ὄρθριος Ἠριγένεια δυωδεκάωρος ὁδεύει,
Ἠελίου λάμποντος ὁμόδρομος· ἱσταμένη δὲ
ἀργυφέη πτερόεσσα χαράσσετο σύνδρομος Ὥραις,
καὶ διδύμους γλαγόεντας ἐπισφίγγουσα φυλάσσει
μαζοὺς ἀμφιέλισσα περίτροχος ἅμματι μίτρη.
Ἡ δὲ τιταινομένη μηκύνεται ἀργέτις Ἠώς,

301 ὀπιπεύων scripsi pro ὀπιπεῦον. — 302 ταυρείην Aa R. — [*ταυρείην ἐπίκυρτον ἀολλίζουσα κεραίην 40, 378. — καὶ βοὸς εἰσορόων βλοσυρῆς γλωχῖνα κεραίης 36, 192; *γλωχῖνι κεραίης 1, 193]. — 303 βυθὸς Aa R. — περι βυθοῦ margo in A. — ἀπανήνατο R, tacite corr. Graefe. — 304 [ἄκρα χαρασσομένοιο 10, 404]. — 305 ἐνύδασι A. — [*ἐν ὕδασι δίφρον ἐλαύνων 39, 12]. — 307 παλάμῃ Aa R. — 308 στρατειῆς Aa. — Nonnus ἀνέτελλεν scripsisset. — 311 [ῥόον . . Ὠκεανοῖο 32, 8] — 312 ὀψιφαές R. »Nostrum dedit Cod. recte de angelo.« Graefe. — 313 παρὰ κρεμάσας A. — 314 σ in συνάειρε ex ο factum esse videtur, quare manus prima σσυν supra σσυν syllabam paulo negligentius exaratam adscripsit. — Ad v. 315 margo A libri: περιημέρας καὶ ὡρῶν. — 316 [καὶ θρασὺς ἰχθυόεντος ὁμόδρομος αἰγοκερῆος 1, 250]. — 316 ἱπταμένη δὲ? — 317 [*σύνδρομος ὄρθρῳ 7, 137]. — 318 ἐπὶ σφίγγουσα A, in cuius margine crux appicta est. — 319 ἅμματι A. — μίτρη scripsi, μίτρης RG. »μίτρῃ Cod quod, ut per se elegans esset, ita tamen non convenit mori horum poetarum. Paulo ante malis f. περιτρόχου ἅμματι μίτρης. Sed nihil mutandum.« Graefe. — 320 ἡ δὲ AR, tacite corr. Graefe.

καὶ θαλεροὺς γύμνωσε βραχίονας· ἀλλομένη δὲ
δεξιτερῇ φαέθουσαν ἀνηέρταζεν ἱμάσθλην,
καὶ δρόμον Ὡράων ἐξάζυγον ἡνιοχεύει,
πρωτοφανὴς ἐλάουσα συνήθεας· αἳ δὲ ταθεῖσαι,
παρθενικοῖς μίτρωσιν ἐνὶ στήθεσσιν ἱμάντας.
καὶ ζυγὸν ὀρθὸν ἔχουσι σελασφόρον αὐχένι κοῦραι,
χερσὶν ἐπισφίγγουσαι· ἐπειγομένοιο δὲ ταρσοῦ
ἐκταδὸν ἀΐσσουσι, καὶ ἠερίῃσι κελεύθοις
ἱπτάμεναι προθέουσιν ὁμόζυγες· ἀρχομένη δὲ
πρώτη ἀναθρώσκουσα λιπόσκιος ἐγγύθεν ὄρφνης
ἀκροφαὴς δροσόεσσα χαράσσεται ὄρθριος Ὥρη,
λείψανα νυκτὸς ἔχουσα μεμιγμένα φέγγεσιν ἠοῦς
λεπταλέον λεύσσουσα, καὶ ἀμφιλύκη τις ἐτύχθη
ὑγρὸν ἐπιστείχουσα φερέσταχυν ὁλκὸν ἐέρσης.
τοίη μὲν τελέθεσκεν· ὅσον δ' ἐπὶ βαιὸν ὁδεύεις,
σχῆμα κασιγνήτης ἑτέρης βλεφάροισι δοκεύων
φαιδρότερον τῆς πρόσθεν ὀπιπεύεις τύπον αἴγλης,
μαρμαρυγὴν Φαέθοντος ἀμελγομένης πλέον Ὥρης.
ἀλλὰ μεσημβρίζουσα φιλεύδιος εὔλοφος ἔστη
ἕκτη μειδιόωσα γαλήνιον, αἴθοπι ῥιπῇ
ἠέρος ὕψος ἔχουσα, πυριβλήτοισι προσώποις·

321 *ἀλλομένη A.* — »Videndum an *ἀλλομένη* sanum sit. An *ἀπτομένη?*« Graefe. — **322** *δεξιτερὴν Δa R.* — *ἱμάσθλην A.* — [* *δεξιτερῇ κούφιζεν* 29, 208. — * *ἀνηέρταζε* 15, 160; 37, 702]. — **323** *ἐξάζυγον A.* — [*δρόμον Ὥρης* 38, 272; *δρόμος Ὥρης* 12, 288]. — **324** *πρωτοφανὴς* scripsi, *πρωτοφανεῖς A*, *πρωτοφανεῖς RG.* — *συνήθέας A.* — *αἱ AR*, tacite corr. Graefe. — **325** *ἐνι A.* — *ἱμάντας A.* — [*ὁμοπλέκτῳ δ' ἐνὶ δεσμῷ Ἀβραγέες παλάμῃσιν ἐμιτρώθησαν ἱμάντες* 34, 225]. — **327** *ἐπὶ σφίγγουσαι A.* — **329** *ἱπτάμεναι A.* — *ὁμόζουγες R.* — **330** *ὄρφνη A.* — [*ἀλλ' ὅτε δὴ ῥοδέοις ἀμαρύγμασιν ἄγγελος Ἠοῦς Ἀκροφαὴς ἐχάραξε λιπόσκιον ὄρθρος ὀμίχλην* 18, 166 167]. — **331** *ὄρθιος Aa.* — **333** *λεύσσουσα A*, fort. recte. — *τὶς A.* — **334** *ἐπιστάζουσα* coni. Graefe in notis; in idem ego incidi. — *ὑγρὸν ἐπὶ στείχουσα A.* — *ἑέρσης R*, tacite corr. Graefe. — **335** *ὅσον δέτε βαιὸν A* in marg., in quo *ὅσον δ' ἔτι βαιὸν* fortasse haud spernendum latere videtur. — **338** *ἀμεργομένης Aa R.* — **340** *ῥίπῃ a*, non *A.* — [*ἕκτη πτερόεσσα δίψιος ὥρη Δ* 24]. — **341** *ὕφος A.* — *περι βλήτοισι A*, *περιβλήτοισι a.* (*πυ* superscr.) — »Sed fort. in duobus his versibus

καὶ φλογερῷ σπινθῆρι κατάσχετος Ἠριγενείης
λεπτὸν ἔχει μελέεσσιν ἀραχνιόωντα χιτῶνα,
καῦμα πυρὸς φεύγουσα περίδρομον· ἐκ δὲ χιτώνων
γυμνὰ καλυπτομένου μυστήρια φαίνετο κόλπου,
καὶ γαστὴρ ἀμάρυσσε ῥοδόχροος· ἐν παλάμῃ δὲ
ὀξέα σειριάουσα φέρει ζυγόδεσμον ἀπήνης.
καὶ ξανθὰς ἐνόησα συνήλυδας ἤματος Ὥρας
ἓξ πάλιν, ἱσταμένας ἐπιβήτορας ὑψόθι δίφρου.
αὐτὰρ ἀμειβομένην τροχαλὴν μίμνουσι πορείην,
δειελινὴν κλίνουσαν ἐπερχομένην ἐπὶ νύσσαν·
καὶ πτερὰ κοῦφα τίταινον ἀειρομένων ὑπὲρ ὤμων
Ἠῷον περὶ νῶτον ὀπίστεραι. ἐσχατίη δὲ
στυγνὰ κατηφιόωντι κελαινιόωσα χιτῶνι,
εἰς δρόμον ἱπταμένη φυσίζοος ἔρχεται Ὥρη·

hemistichia sunt transponenda in hunc modum: *ἕκτη μειδιόωσα πυριβλήτοισι προσώποις, ἠέρος ὕψος ἔχουσα γαλήνιον αἴθοπι ῥιπῇ.«* Graefe, recte, puto. — [*πυριβλήτοιο προσώπου* 30, 91]. — **342** [**καὶ φλογεροὺς σπινθῆρας* 45, 327]. — **344** *πυρίδρομον A* hoc loco minus aptum, *πυρὶ δρομον a*; cfr. *πυρίδρομα νῶτα μαχαίρης* 29, 211. — **345** »*καλυπτομένης* vulgo, quod alibi ferendum, imo elegans, hic insolitum.« Graefe. — **346** *παλάμη A.* — **347** *ἀπήνην R.* — **348** *σὺν ἤλυδας ἤματος A.* — Margo *A* libri: *περι ὡρῶν.* — [**συνήλυδας* 44, 142]. — **349** *ἐξ πάλιν R*, tacite corr. Graefe. — *ἵσταμένας A.* — [**ἐπιβήτορες* 15, 277; — *ἠτορας* 35, 116. — *χρυσέων ἐπιβήτορα δίφρων* 10, 261. — *ὑψόθι δίφρου* 38, 24]. — **350** »*ἀμειβομένλην τροχαήν* edit. confusis syllabis finalibus. Prius vocabulum emendat Cod. Praeterea malim ab initio: *αἳ δ' ἄρ' ἀμ.«* Graefe, *ἀμειβομένην τροχαλὴν A* et sine dubio etiam *a.* — **351** *ἐπ' ἐρχομένην A.* — **352** *ὑπερώμων A.* — [*πτερὰ κοῦφα* 40, 518]. — **353** *ἠῷον περινῶτον ὀπιστέρα ἑβδομάτη δὲ A.* — »*Ἠῷον* [*Ἠῶον R*] *π. ν. ὀπιστέρα* Cod quasi *τίταινεν* versu praec. fuisset. Mox pro *ἐσχατίη* vulgo est *ἑβδομάτη* quod sciolo debetur, qui post sextam Horam v. 340 septimam sequi debere putabat, reliquas anxie quaerens, ut ad marg. Cod. ad v 363 legitur: *ζήτει περὶ τῶν λοιπῶν ὡρῶν τὴν ἀφήγησιν.* Sed distinguuntur Horae sex antemeridianae, v. 323 ss. inprimis v. 339 ss. quas Aurora ante se habet, et totidem pomeridianae, v. 348 ss. pone Auroram, v. 355 e quibus illa, quae crepusculum rursus adducit, non septima est, sed postrema.« Graefe. — **354** *κατηφιόωντα Aa*; conicio *κατηφιόωσα κελαινιόωντι χιτῶνι*, cfr. *κελαινιόωντι δὲ πέπλῳ* 38, 18. — **355** *εἰς* scripsi pro *ἐς.* — *ἵπταμένη A.* — *ὥρη A.* — [**ἤλυθον Ὧραι* 46, 158].

κλινομένη δ' ἔστηκε μετάτροπος ἄζυγι παλμῷ,
ἀξονίην τροχόεσσαν ἴτυν μέλλουσα κυλίνδειν,
ἔσχατον ἐσσυμένη τελέσαι χρέος· ἀλλὰ καὶ Ἠῶ
ὀρνυμένην πέπλοισιν ἐπισπεύδουσαν ἐπείγει,
δεξιτερὴν τείνουσα μετάσσυτον εἰς φάος ἄλλο.

B.

Ἐνταῦθα σεμνῶς τοῦ κρότου κεκμηκότος
ἔστην, μεσούσης τῷ δρόμῳ τῆς ἡμέρας.
πάλιν παρῆλθον, καί, δραμών, κοσμογράφος
ἀρχὴν ἐποίουν τῶν λόγων ἐκ τῶν ῥόδων.

Καὶ ῥόδα μαρμαίροντα φίλης ἀνέτειλεν ἀκάνθης,
εἰς χάριν ἁβροπέτηλον ἀνοιγομένοιο κορύμβου,
ἀζομένου λειμῶνος ἐπιχθονίους ῥοδεῶνας·
καὶ πολὺς ἑρπύζων χλοερὸς βλάστησε κομήτης,
εἰαρινὴν γελόωσαν ἀπαγγέλλων Ἀφροδίτην·

357 [**τροχόεσσαν ἴτυν* 48, 115]. — 358 »Eadem, qna v. 353. interpolatione pro *ἔσχατον* vulgo est *ἕβδομον*; etsi hic alius fortasse *εὔδρομον* praeferat.« Graefe. — [**εἰς ὅρος ἐσσυμένη* 25, 526]. — 359 *ὀρνυμένη* Graefe pro *ὀρνυμένην* scripsit hac nota addita: »sed locus nondum videtur persanatns esse.« Sed cum Graefii emendatione quid lncremnr non videam, vulgatam retineo, collatis etiam vss. 164. 165 alterius huins carminis partis. — II Ad versus iambicos *A* in marg.: *ἰαμ* (i. e. *ἴαμβοι*). — In *κρότου* *τ* in rasnra habet *A*. — 2 *ἡμερας* *A*. — Ad v. 4 *A* haec habet in marg.: *περιουρανου καὶ γῆς των συν αυ*[τ] *ζήτει περι τῶν λοιπῶν ὡρῶν την αφήγησιν περὶ γῆς καὶ τῶν σὺν αὐτῇ φυτῶν καὶ λειμώνων*, ubi verba *ζήτει περὶ τῶν λοιπῶν ὡρῶν τὴν ἀφήγησιν* a reliquis separanda esse apparet. Ceterum recte *R* in marg. ad v. 3: *περὶ γῆς καὶ τῶν ἐν αὐτῇ φυτῶν καὶ λειμώνων*. — 2 *εἰς* scripsi pro *ἐς*. — *ἀβροπέτηλον* *A*. — 3 *ἐζομένου* *R*. — *ἐπιχθονίου ῥοδεῶνος* *A* a *R*. — 4 *βλαστησε* *A*. — »Supplendum videtur *λειμών*, nisi post *κομήτης* quaedam exciderunt, quae plantae nomen continebant.« Graefe. — 5 *τελόωσαν*[γ] *A*. — *ἀπἀγγέλλων* *A*. — [**ἀπαγγέλλων* 24, 145].

καὶ χρίνα βαιὰ τέθηλε φαληριόωντα πετήλοις.
Γαῖα δὲ θηλύνασα φύσιν, θρέπτειραν ἀμάλλης,
ἐκ λαγόνων γονόεσσαν ἀνηκόντιζε γενέθλην·
καὶ ῥαχίην καὶ νῶτον ἐπικλίνουσα χαμεύνῃ
διχθαδίῳ κλιντῆρι δέμας κούφιζεν ἀγοστῷ,
νηδὺν ἀνευρύνουσα βιοσσόον· ἐκ δὲ λοχείης
ἡδυχόμων ὤδινε συνωρίδα δίζυγα καρπῶν,
ἄρσενα μαῖαν ἔχουσα τανύπτερον Ἀγγελιώτην,
ὃς μεθέπων παλάμῃσι λεχώϊα γούνατα Γαίης,
στηρίζων ἑκάτερθε κεχηνότα μηρὸν ἀλήτην,
ἁρμονίην σοφίης μαιώσατο μαιάδι τέχνῃ,
λύσας μυριόκεντρα μογοστόκα λύματα λιμοῦ.
ἡ δὲ φερεσταχύων πλοκάμων ἐπέτασσεν ἐθείρας,
ἐκταδίην ῥίψασα παρήορον αὐχένι χαίτην
νῶτον ἐπιθρώσκουσαν ὀπισθοπόροισι κελεύθοις,
καὶ γονίμῃ παλάμῃ κέρας ὄμπνιον ὑψόθι τείνει,
ζωοτόκου Δήμητρος ἐπιπλήσασα γενέθλης.
καὶ στάχυες κομόωσι· μέλας δέ τις αὐχένα σύρων
μηχεδανὸς τριέλικτος ἕλιξ ὄφις εἰς κέρας ἦεν,

6 [ἄνθεα πάντα τέθηλε 47, 458]. — 8 [ἐκ λαγόνων δὲ Ὑγρὴν ἰχθυόεσσαν ἀνηκόντιζε γενέθλην 26, 272. 273]. — 9 ῥαχιὴν A. — νῶτα Aa. — χαμεύνη A. — 11 νηδῦν A. — δε A. — [Vox βιοσσόος etiam apud Nonnum semper in quarta arsi est; praeterea cfr βιοσσόον ἧπαρ 4, 362]. — 12 ἡδὺ κόκων A, ἡδυ κοκων aR, tum δίζυγι καρπῷ AaR, corr. apud Rutgersium ad calcem carminis. — [*χαλκοπόδων μόρφωσε συνωρίδα δίζυγα ταύρων 29, 203]. — 13 ἔχουσα R, tacite corr. Graefe. — [*ἄρσενα μαῖαν ἔχουσα δικασπόλον υἱέα Μαίης 41, 171. — *ἀγέστρατον ἀγγελιώτην 13, 36]. — 14 λεχῶια A. — [λεχώϊον αὔλακα 24, 326]. — 16 ἁρμονίη Aa, »quod fort. in ἁρμονίῃ mutandum erat.« Graefe. — [μαιάδι τέχνῃ 3, 403]. — 17 λοιμοῦ R. — [*μογοστόκα νήματα μηροῦ 9, 10]. — 18 ἡ scripsi pro ἡ. — 19 ἐκταδιην A. — παρῄορον G tacite. — [*παρήορος αὐχένι χαίτῃ 1, 318]. — 20 Ad ὀπισθοπόροισι fortasse propter οp litteras negligentius iunctas m. pr. in marg. adscripsit: οπισθοπόροισι — [ὀπισθοπόρος 10, 408; 37, 255 etc.]. — 21 γονίμη παλάμη A. — Vocem ὄμπνιον m. pr. in A libri margine repetivit. — τεινει A. — [*παλάμῃ 26, 75 etc.]. — 22 ἐνιπλήσασα? — [*ζωοτόκῳ 25, 539; ῥαίνων ζωοτόκοιο φυτηκόμον αὔλακα γαίης 26, 191]. — 24 ἐς κέρας A, ἐς aRG. — [*μηχεδανοὺς δὲ δράκοντας 32, 139. — *ἕλιξ ὄφις 40, 476]. — »ἐς κέρας dictum pro

σημαίνων, ὅτι Γαῖα φερέσταχυς οὐκ ἀπολήγει
ἀνθοκόμους τίκτουσα καὶ ὠδίνουσα κορύμβους.
καὶ τροχαλοῖς μελέεσσι φορεύμενος ὁλκὸν ἑλίσσει
ψυχρὸς ὄφις, νεότητι παλίμπορος αἰὲν ὁδεύων·
ἀλλὰ πάλιν βραδύγουνος ἐσύρετο νωθρὸς ὁδίτης,
καὶ ψαφαρὸν μετέπειτα, γέρων, ἀπεσείσατο γῆρας.
Γαῖα δ' ἀμαλλοτόκεια συνήθεα καρπὸν ἀέξει,
καὶ πολιὸν γεγαῶτα παρέθρισεν εἰς γένυν ἅρπης.
  Ἣ δὲ φερεζώων μελέων ὤϊξεν ὀχῆας,
καὶ διδύμους λοχίης διδυμητόκος ἔβλυσε καρπούς,
ἀρτιγόνους μεθέπουσα, νεήλυδας οἷά τε παῖδας.
τῶν ὃ μὲν ἀνθερεῶνι περίπλοκος ἡδέϊ δεσμῷ
μητέρι χεῖρας ἕλιξε, συνήορος αὐχένι Γαίης,
τερπωλῇ φιλότητος· ἀειρομένου δὲ καρήνου
καρπὸς ἀνηέξητο, καὶ εἰς στόμα χεῖλος ἐρείσας
παιδοκόμῳ πῆχυνε φιλήματι μητρὸς ὀπωπήν.
ὃς δὲ πολυρραθάμιγγος ὀπιπεύων χύσιν ὄμβρου,
βαιὴν χεῖρα τάνυσσε, περίσσυτον ἠέρι πέμπων,

ἐν κέρᾳ ἧεν, quod propter correptionem displicuisse videtur. Ad *κέρας* cf. v. 21.« Graefe. — **25** *φερέστάχυς A.* — *οὐδ'* (x) *Aa, οὐδ' R.* — [**φερέσταχυς ἵκετο Δηώ* 27, 338; praeterea cfr. 13, 192; 19, 84; 42, 330]. — **26** [*ἀνθοκόμος* 5, 27; 7, 194]. — **27** *ἐλίσσει A.* — [**ὁλκὸν ἑλίσσων* 7, 231]. — **29** [**νωθρὸς ὁδεύεις* 3, 106; *βαρύγουνος ὁδεύεις* 48, 761]. — **30** [*ψαφαρὴ . . . ἔρρεε χαίτη* 4, 363. — **ἀπεσείσατο πεύκην* 7, 53]. — **31** *συνήθέα A.* — *ἀέξει* scripsi, *ἀέξειν A* ligatis *εξ* litteris, *ἄξειν a*, *ἄεξεν RG* contra metrum. — [**γαῖα δὲ καρκοτόκεια* 21, 26; *ἀμαλλοτόκοιο δὲ γαίης* 22, 261]. — **33** *Ἣ* scripsi pro *ἡ* vel *Ἡ.* — *φερεζῴων Aa.* — **34** *λοχεέης Aa.* — *καρποὶ β' παῖδες A* in marg. — [**διδυμητόκος* 3, 388; **διδυμητόκον* 48, 425]. — **35** In *R* comma post *νεήλυδας*, non post *μεθέπουσα* est, tacite corr. Graefe. — [**οἷά τε* 10, 186]. — **36** *ὃ* Graefe tacite pro *ὁ.* — [**περίπλοκον ἀνθερεῶνι* 25, 484; *περίπλοκον ἡδέϊ δεσμῷ* Ep. Anth. Pal. IX 362]. — **37** *ἕλιξε A.* — *συνῄορος* Graefe tacite. — **38** *τερπωλὴ A.* — »Fort. *ἀειρομένου δὲ κορύμβου* voluit auctor.« Graefe. — **40** *παιδοκόμω πῆχυνε A.* — *ὀπώρην AaR.* — [**παιδοκόμῳ πήχυνα . . ἀγοστῷ* 3, 340; *παιδοκόμῳ πήχυνεν* 9, 95]. — **41** [*πολυρραθάμιγγος ὀπώρης* 19, 12; **πολυρραθάμιγγι . . . λύθρῳ* 7, 174. — **χύσιν ὄμβρου* 2, 504; **χύσις ὄμβρου* 3, 202]. — **42** *περίσσ//υτον A*; *περίρρυτον* coni. Graefe in notis.

καὶ παλάμην ἐδίηνε χυτὸς ῥόος ἐκ νεφελάων,
δίψιον ἐκ νιφετοῖο διάβροχον ἄνθος ἀέξων.
Καὶ χθονίου γυάλοιο θεμείλια νέρθεν ἀείρων,
Ἄγγελος ἄλλος ἔην γαιήοχος, ἐγγὺς ὁδεύων,
Γαίης κέντρον ἔχων ὑψούμενον ἠέρι μέσσῳ
συμφυέων ἀνέμων ταναῷ φυσήτορι ῥοίζῳ.
αὐτὰρ ὄφις πτερόεντος ἐπ' αὐχένος ὅρμον ἑλίσσει,
αὐχένιον σπείρημα περίτροχον ἅμματι δήσας,
σύμβολον ἀρχαίης θεοτευχέος ἄξονος ἕδρης,
ὅττι Φύσις τέκτηνε, καὶ ἀστυφέλικτος Ἀνάγκη
ἀμφιπαγῆ συνέδησεν ἀρηρότι νεύματι δεσμόν,
εἰς ἓν ὁμοῦ σφίγξασα μετάρσιον αὐχένα κόσμου.
Καὶ χθονὸς εἶδον Ἄρουραν ὀπιπεύουσαν ἐέρσην,
εἶδος δισσὸν ἔχουσαν· ἐγὼ δ' ἐπιέλπομαι εἶναι
Εὐρώπην Ἀσίην τε μεριζομένας ἐνὶ Γαίῃ.
αἳ δὲ τελεσσιγόνοισιν ἐποπτεύουσιν ἀμάλλαις
εἰς τόκον ὠκυγένεθλον ὀφειλομένων λυκαβάντων,
καὶ τραφεραῖς παλάμῃσιν ἐπισπεύδουσι κομίζειν
ὑδρηλαῖς νιφάδεσσι θαλύσια, πάντροφον ὕδωρ.

45 *χονίου* (θ *superscr.*) *A.* — *θεμήλια A.* — [*ὅτι χθονίων ἀπὸ κόλπων Ἰ* 38]. — **46** *ἔην R*, tacite corr. Graefe. — *γαιήοχος A.* — [*γαιηόχον ὕδωρ* 38, 109; cfr. *Λ* 12]. — **48** *ῥοιζῷ R* — [**φυσήτορας ἀσκούς* 30, 70]. — **49** *ἑλίσσει A.* — **50** *περίτροχον A* ex *περιτροχόν.* — *ἅμματι A.* — *λύσας R.* — »Fort. scribendum *αὐχενίῳ.«* Graefe. — **51** *αὔξονος Aa.* — *ἕδρης A.* — [*εἰς πόλιν ἀρχαίην Δ* 14; **Δάρδανος ἀρχαίης* 3, 219]. — **52** *τέκτηνε R*, tacite corr. Graefe. — **53** *ἀμφιπαγὴς AaR.* — *θεσμῶν AaR.* — [*ἀλυκτοπέδῃσι πετήλων ἀμφιπαγής* 21, 57; *πετήλοις ἀμφιπαγὴς πεπέδητο* 21, 123; *ἀμφιπαγεῖς ὀνύχεσσιν . . ἄρκτοι* 5, 362]. — **54** *εἰσὲν A.* — *ὁμου R*, tacite corr. Graefe. — *ἄξονα κόσμου* coni. Graefe in notis. — **55** »*ὀπιπεύουσαν*, si sanum, videtur esse circumspicientem, desiderantem, cf v. 123, ut fere *ἀποβλέπειν.* Sed cf. v. 58. Comparanti v. 60 s. probabile videtur *ἐπισπένδουσαν ἐέρσην.«* Graefe. — **57** *ἐνι A.* — **58** *αἱ AR*, tacite corr. Graefe. — *τελεσσιγόνοισεν R.* »Deinde h. v. vulgo legitur *ἐπισπεύδουσιν* et v. 60 *ἐποπτεύουσι*, verbis aperte confusis. Caeterum nisi scripsit *τραφερ. καλάμῃσιν*, argutum est, quod siccis manibus aquam in nubibus portaut.« Graefe. — [*τελεσσιγόνοιο λοχείης* 7, 150]. — **60** *γραφεραῖς* (τ *superscr.*) *Aa.* — *ἐποπτεύουσι AaR.* — **61** [**νιφάδεσσι* 38, 393].

τῶν ἡ μὲν πολύκαρπος ἐπισταχύουσα χορεύει,
καὶ χθόνιον κούφιζεν ὄφιν, ζωστῆρα δεραίης·
ἡ δὲ θοῇ ῥαθάμιγγι παλύνετο χεῖρα βαλοῦσα.
Οὐδὲ θάλασσα τέτυκτο διαυγέος ἄμμορος αἴγλης,
ἀλλὰ χορυσσομένην Φαεθοντίδα λαμπάδα λεύσσει,
καὶ βλητοῦ φαέεσσι κορύσσετο κύκλα προσώπου.
Ἡ δὲ φαληριόωσαν ἐρετμώσασα γαλήνην,
χιονέης ἀνέτειλεν ἀπ' ἀγλαΐης Ἀφροδίτη,
λευκοφανής, ἐρόεσσα· καὶ ἰχθυγόνων ἀπὸ κόλπων
νώροπα πόντου ἔθηκε, χάριν στάζουσα ῥεέθροις,
καὶ ξανθὸν τριέλικτον ἀκύμονα βότρυν ἐθείρης
νηχόμενον προέηκεν ἁλικλύστων ὑπὲρ ὤμων
ὑγρὸν ἐφαπλώσασα· περισφίγγουσα δὲ λαιῇ
μειλιχίης οἴηκα κυβερνητῆρα γαλήνης
δάκτυλον ὀρθὸν ἔθηκεν ἐπὶ στόμα· κεκλιμένην δὲ
δεξιτερὴν ἐπέτασσε, καὶ εἰς Φαέθοντα δοκεύει,
ἄγγελον ἐγγὺς ἔχουσα φυλάκτορα, νηκτὸν ὁδίτην.
Ἐν δὲ ῥόῳ βρυόεντι περισκαίρουσιν ὀπίσσω
ἰχθύες, ὑγρὰ γένεθλα· καὶ ἀμφίκλυστος ὁδεύων

62 ἡ *AR*, tacite corr. Graefe. — »Alius fort. malit ἐπὶ σταχύεσσι χ.« Graefe; in idem ego incidi, ἐπισταχύω apud Apoll. Rhod. 1, 972 de barba dictum est. — 63 χθονιων *R*, tacite corr. Graefe. — κεραίης *AaR*; »remotius esset κεράστην.« Graefe. — 64 ἡ *AB*, tacite corr. Graefe. — [*ῥαθάμιγγι 9, 48. — *χεῖρα βαλοῦσα 21, 71]. — Ad v. 65 *A* in marg.: θαλάσσ καὶ τῶν σὺν αὐτῇ ut videtur. — 65 ουδε *A*. — [ἄμμορον αἴγλης 38, 52]. — 66 λεύσει *A*. — 67 »Nisi in repetito verbo κορύσσεσθαι, ut de Sole v. 66 ita de Ponto nunc usurpato, acumen captasset, praestitisset χαράσσετο. Praeterea melior esset versus βλητοῦ φαέεσσι.« Graefe; βλητοῦ φαέεσσι (βλητοῖο φάεσσι *RG*) recte probavit Ludwich l. l. p. 132, et βλητοῖο φαέεσσι habet *A*. — [κύκλα προσώπου 1, 527; 6, 170 etc.]. — 68 Ἡ pro ἡ tacite Graefe. — 69 [*ἐς ἀγλαΐην Ἀφροδίτην 33, 20; *ἀγλαΐην Ἀφροδίτης 48, 230]. — 70 κερόεσσα *AaR*. — [καὶ συὸς ἰχθυγόνοιο 26, 275]. — 71 στάζουσα προσώποις *R*. — 73 ὑπερ *A*. — 74 ἐφ' ἁπλώσασα *A*, ἐφουπλώσασα *a*. — περὶ σφίγγουσα *A*, περισφίγγουσα *R*. — 75 κυβερνήτειρα *R*. — 76 ἐπι *A*. — κεκλιμένη *AaR*. — 77 εἰς scripsi pro ἐς. — 78 νυκτὸς ὁδίτην *R*. — [*φυλάκτορα 6, 139; 16, 268]. — 79 ὀπίσω *G*. — 80 ἰχθύες (ε supra) *A*, cum ε in ες syllaba insolita forma exaratum esset. — ἀφίκλυστος ut vid. *A*. — Ad hunc versum

Γλαῦκος γλαυκὰ ῥέεθρα θορὼν φοίνιξε θαλάσσης,
γλῶσσαν ἐρευθαλέην ἀπὸ χείλεος εἰς ἅλα φαίνων,
κινυμένην ἔντοσθε· καὶ οὐκ ἔκρυψεν ὀδόντας,
πλωτὸν ὕδωρ πτερύγεσσι θαλασσοπόροισιν ἱμάσσων.
καὶ βραχὺς ἀντικάρηνος ὁμόπλοος ἄλλος ἐτύχθη,
ὑψώσας στόμα λάβρον ἐπ᾽ ἠόνας. ἐκ δὲ καρήνου
πούλυπος αἰολόμητις ἀνόστεος εἰς ῥόον ἕρπων
ποντοβαφὴς πλοκάμοισι πολυσχιδέεσσι χορεύει.
καὶ θόλον ὑγρὸν ἔχουσα μελάντερον ἔνδον ἀείρει
σηπίη ἑρπύζουσα· καταχρύπτουσα δὲ βόσκει
ἐνδόμυχον μέλαν ὅπλον, ὅθεν θηρήτορας ἄγρης
ῥηϊδίως ὑπάλυξεν, ὁμιχλήεντι βελέμνῳ
κυανέην βάψασα μελαινομένην χύσιν ἅλμης,
ἀχλὺν ἀποπτύουσα. καὶ ὀξυέθειρα ταθεῖσα
χαρὶς νηχομένη φοινίσσετο, καὶ δέμας ἕλκει
ὄρθιος αὐτοχάρακτος ἀκύμονος ἐγγύθεν ὄχθης,
καὶ προχοὴν νύσσουσα κεράατι κῦμα χαράσσει.
καί τις λευκοπάρῃος ἐρέσσεται ἀθρόος ἰχθύς,
ἅλμην φυκιόεσσαν ἀλήμονι γαστέρι τέμνων,
λάβραξ, ἠέ τις ἄλλος, ἐὼν γλυκύς· ἐκ δὲ θαλάσσης

γλαυκος habet *A* in marg. — [**δισσὰ γένεθλα* 9, 316; **ξυνὰ γ.* 13, 230 etc.] — **81** [*ἀφροτόκοι κενεῶνες ἐφοινίσσοντο θαλάσσης* 45, 156]. — **82** *ἀπο A.* — [*ἐρευθαλέος* 12, 228; 33, 29 etc.]. — **83** *ἔντοσθε R*, tacite corr. Graefe. — *οὐχέκρυψεν A.* — **84** [**πλωτὸν ὕδωρ* 22, 4. — **θαλασσυπόρος* 20, 376; 21, 185]. — **85** [**ὁμόπλοον* 4, 234; **ὁμόπλοος* 4, 247]. — **86** *λαβρὸν R*, tacite corr. Graefe. — *ἐπηϊόνας A.* — [*ἐπ᾽ ἠόνος* et *ἐπ᾽ ἠόνι* Nonnus saepe usurpavit, *ἐπ᾽ ἠόνας* nunquam]. — **87** *εἰς* scripsi pro *ἐς*. — [**δεύτερος αἰολόμητις Ἔρως* 33, 90]. — **90** »*σηπία ἑρπ.* vulgo; Ionicam formam restituit Spitzner de versu Heroico p. 160. Sed de hiatu neque in *σηπία ἑρπ.* cogitandum: nam illud *α* non minus producitur quam *η*, ut vel accentus monstrat. Verum Ionica forma per se introducenda erat.« Graefe. — *κατὰ κρύπτουσα A.* — **91** *ἐνδόμουχον R.* — [*ἐνδόμυχος* 4, 176; 25, 542 etc.]. — **93** [*χύσις … ἅλμης* 6, 125]. — **94** *ἀχλῦν A.* — **95** *A* in marg.: *χαρις.* — **95** *χαρὶς ἑλκομένη R.* — **96** [*αὐτοχάρακτος* 5, 599. — *ὀφόθεν ὄχθης* 10, 330 etc.]. — **97** *νύσσουσα* scripsi pro *νύττουσα.* — **98** *λευκοπάρηος A, λευκπάρηος R.* — *ἴχθῦς A.* — **99** *ἀλήμονα Aa.* — Ad v. 100 *A* in marg.: *λαβραξ.*

ὦρτο θυελλήεσσα δι' ἠέρος ὑψόθι ῥιπή,
χειμερίους νιφόεντας ἀναπτύξασα χιτῶνας.
ἤδη γὰρ πυρόεσσα φιλόδροσος ἄνθορε σάλπιγξ,
ἰκμάδα πορθμεύουσα, καὶ εἰν ἁλὶ βόσκεται ὕδωρ,
ἔμπαλιν αὐερύουσα ῥόον φυσήτορι πορθμῷ,
ἀτμὸν ἀνυψώσασα, καὶ ἁρπακτῆρι βελέμνῳ
ἑλκομένην πύκνωσε χύσιν βητάρμονι πυρσῷ,
καὶ νεφέλην ἤειρε πεπηγότι χεύματι πολλῷ.
Καὶ πολὺς ἠερόφοιτος ἐκώμασεν ὕδατι Χειμών,
οἷα νέφος, πρὸς Ὄλυμπον, ἔχων ῥόον ὑψόθεν ὤμου,
μορφῆς ἀνδρομέης προφέρων τύπον· ἐν δὲ ῥεέθροις
ἓν σκέλος εἰσέτι πάλλε βεβαμμένον· ἄλλο δὲ τείνων
ὀμβροτόκον κούφιζε μετάρσιον, ἧχι φανέντες
Ὄμβροι, παῖδες, ἔασι, περίπλοκον ἅμμα βαλόντες,
ὑγρὸν δεσμὸν ἔχοντες ἐπίῤῥυτον· ὧν ἀπὸ γυίων
ψευδαλέος πολὺς ὄμβρος ἐπωλίσθησεν ἀρούραις
ἄβροχος αὐαλέῃσι, πολυσπερέεσσιν ἐέρσαις,
ποιητῇ ῥαθάμιγγι πολυχρονίου νιφετοῖο.
ἀλλ' ὃ μὲν ἱπταμένων πτερύγων ῥοίζημα τινάσσων,
ἄσχετος ὑψικέλευθος ἐς ἠέρα νήχετο Χειμών,
ὤμοις ζῳογόνοις ἐγχύμονα κάλπιν ἀείρων.
καὶ νόον εὐσεβίῃσι φυτηκόμον ἀμφιελίσσων,

101 *ῥίπη a* solus. — Ad v. 102 *A* in marg.: *σιφων* ut vid. — 103 [* *φιλόδροσα νῶτα φυλάσσων* 1, 357]. — 104 *ἰκμάδα R*, tacite corr. Graefe. —
πορθμεύουσα *πορθ*
προθμευουσα A, *προθμεύουσα a*. — *εἰναλὶ A*. — *ὑδωρ A*. — [* *ἰκμάδα* 12, 106]. — 105 *αὐερύουσα* ex *αὐὲρύουσα A*. —
φ
106 *βελέμνου A*. — Versus 108 in margine scriptus est in *A* libro. — [* *πεπηγότα δάκτυλα γαίῃ* 22, 304. — * *χεύματι πικρῷ* 17, 302]. — 109 *χειμῶν A*. — [* *καὶ ζόφος ἠερόφοιτος* 5, 492]. — 110 *οἷα A*. — *ὀλυμπον A*. —
εέ
111 *ρείθροις A*,
εε
ῥειθροις a. — [*μορφὴ ἀνδρομέη* 5, 316. 317] — 112 *δε A* — 114 *ἅμμα A*. — [* *ἔασι* 11, 343; 38, 222]. — 115 *ἀπο A*. — 116 *ἐπ' ὠλίσθησεν A*. — 117 *ῃ* in *αὐαλέῃσι* in ras. habet *A*. — *ἑέρσαις R*, tacite corr. Graefe. — [* *αὐαλέος* 26, 104]. — 119 *ὁ AR*, tacite corr. Graefe. — *ἵπταμένων A*. — 120 *χειμῶν A*. — [* *ἄπτερος ὑψικέλευθος* 47, 658]. — 121 *ζῳογόνοις* scripsi pro *ζωογόνοις*. — *καύπιν a* solus. — 122 [* *φυτηκόμος* 47, 66; * *φυτηκόμον* 7, 303; 26, 191].

ἱκεσίην ἐλέαιρεν ἐπαυχμώωσαν Ἀρούρης·
καὶ παλάμην ἐτίταινε φέρων χθονὶ νυμφίον ὕδωρ,
πυκνὸν ἀκοντίζων αὐτόσσυτον ὄμβρον Ἐρώτων,
καὶ νεφέλης ἔπλησε μελανστέρνοιο καλύπτρην.
ἡ δὲ ῥόῳ σφριγόωντι διαρρήξασα χιτῶνας,
γαστέρα κοιλαίνουσα βαρυνομένην προχοῇσιν
ἡδυβόλου νιφετοῖο ῥοὰς κελάρυζε χανοῦσα.
